Βῶνν

Θρᾴκη. Θρᾷκες

Δανούβιος διατί οὕτω παρὰ τῶν Θρᾳκῶν ὠνομάσθη.

Ὁ δε Ἴστρος κάμψας τον ἄξενον προς δύοντα ἥλιον αναχωρῶν, αὐτὸς ἐστι ὃν ἔφαν μερίζεσθαι καὶ ἄχρι μεν Παννωνίας, ἣν Ἕλληνες Παιονίαν δι' εὐφωνίαν ἢ φυγὴν βαρβαρισμοῦ καινοτομοῦντες ἐκάλεσαν, καὶ Σιρμίου τῆς πάλαι μεν Ῥωμαίων εὐδαίμονος πόλεως νυν δε τῶν Γηπαίδων, την ιδίαν διασώζει προσηγορίαν, περὶ δὲ την Θρᾳκίαν ἐλθὼν ἀποβάλλει μεν παρα τοῖς ἐπιχωρίοις το ἔμπροσθεν ὄνομα, Δανούβιος δε μεταβάλλει. οὕτω δε αὐτον οἱ Θρᾷκες καλοῦσιν, διότι περι τα πρὸς ἄρκτον ὄρη ἡ Θρᾳκία ἀνέμων συννεφὴς ὁ ἀὴρ ἐκ τῆς ὑποκειμένης τῶν ὑδάτων ἀμετρίας σχεδὸν δια παντὸς ἀπολειβόμενος αἴτιος αὐτοῖς συνεχοῦς ἐπομβρίας ἀποτελεῖσθαι νομίζεται. Δανούβιον δὲ τον νεφελοφόρον ἐκεῖνοι καλοῦσι Θρᾷκες.

Ἰωάννης
Λυδὸς
Περὶ αρχῶν
της Ῥωμαίων
πολιτείας
σ. 226
κεφ. β' πγ

Περὶ Διοσημειῶν.

σ 301

23 ὁ ἥλιος αἰγοκέρωτι κατὰ Ἰανουαρίῳ. ἡλίου πρὸς αἰγόκερων παριόντος, ἢ βροντὴν ἐπιρραγῆναι συμβαίη, ἀχλὺς ἔσται πάχνα καὶ καυστικὴ, ὡς κινδυνεῦσαι τοὺς καρποὺς ἐναπομαρανθῆναι τοῖς φυτοῖς, καὶ ἄποιος ὁ οἶνος. ἢ δε μέχρι τῆς ἐπιτολῆς τοῦ κυνὸς ἡ ἀχλὺς ἐπικρατεῖ, ἐπίνοσος ὁ ἐνιαυτὸς ἔσται ἐπί τε Μακεδονίας Θρᾴκης Ἑλληνίδος καὶ τῆς ἄνω Ἰνδικῆς.

Θράκη.

σ 355. 58. Ἥλιος Αἰγόκερω. ὅταν δὲ ἥλιος ἀποστρέφηται ἀπὸ τῆς νοτίου καμπτῆρος ἐπὶ τὸν αἰγόκερων ἔλθῃ, ὁ σεισμὸν συμβαίη γενέσθαι, ἐπὶ μὲν τῆς ἄνω Ἀσίας πᾶσα ἡ Ἰνδική Ἀριανὴ δὲ ἡ Γεδρωσία, ἐπὶ δὲ τῆς κάτω Φρυγία τε πᾶσα ἡ Ἑλλήσποντος, ἐπὶ δὲ τῆς Εὐρώπης Μακεδονία ἡ Θράκη πρὸς τῷ Ἑλληνικῷ ἕως Ἴστρου ποταμοῦ ἡ μεσόγειος ταραχθήσονται πρὸς τῶν ἐπιχώρων, αἱ χείμαρροι τὰ λήϊα ἀφανιοῦσι, [illegible] βοσκημάτων. ἐμφύλιοι δὲ πόλεμοι ἔσονται, ὀνήσεων δὲ ἡ καλλιεργιῶν ψευδὴς ἄχρις· ἐνιαχοῦ δὲ ἡ πόλεις ἀθρόως καταβληθήσονται.

Ἥλιος ὑδροχόῳ. ἡλίου ἐπὶ ὑδροχόον ἰόντος ἐγένηται σεισμός, ἐπὶ μὲν τῆς ἄνω Ἀσίας Βακτριανὴ Σογδιανὴ Ἀραβία μικρὰ ἡ Ἀζανία, τῆς δὲ Εὐρώπης ἡ Θράκη ἕως Ἑλληνικοῦ σφόδρα ταραχθήσονται· πόλεμοι γὰρ βαρεῖς ἐπιπεσοῦνται ταῖς χώραις.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ